ἀρθ. ϛ'χ·

θεραπεία νόσου. ἦδ᾽ ἂν καλοῖτ᾽ Ἴασις ἐντελὴς νόσου
κινήσεων φέρουσα χρῆσιν ἀρτίαν.
τῆς γ᾽ οὐ τελουμένης δὲ, τοῦδ᾽ οἷα πλέον
ἤπερ φύσις σθένοντος, ἀγχίπους μόρος. κβ. 451
κινήσεων γὰρ αὐτίκ᾽ ἠμαυρωμένων
τῇ δρῶντος ἀλκῇ παντελῶς τ᾽ ἐσβεσμένων,
σκήνους τε τὸ ζῆν συγκατέσβεσ᾽ εὐθέως. --- 475

ΚΗ. Κἀντεῦθεν, ὡς ἔοικεν, ἔκπαλ᾽ ἐῤῥέθη
φύσιν μόνην ἅπασαν ἀλθαίνειν νόσον (κ) β. 35
μακρὰν κατοξεῖαν τε κἀπεγνωσμένην,
τῆσδ᾽ ἀντιπραττούσης δὲ, φροῦδα πάντ᾽ ἄκη (λ).
ὡς οὐδαμῶς τῆσδ᾽ ἀντερειδούσης ἔτι
ὑπ᾽ ἀδρανείας τῷ νοσήματος σθένει, κβ. 451
ὑφ᾽ ἧσπερ οἷα πᾶν ἀποπτύουσ᾽ ἄκος
τὴν τοῦδ᾽ ἀμαυροῖ, δρᾷ δ᾽ ἐναντίαν δρᾶσιν·
ὅγ᾽ ἀντίπραξις τῆσδε κέκλητ᾽ εἰκότως
ὡς τοῦτ᾽ ἐν ἄλλοις ἐμφανέστερον φράσω·
κἀνθένδε δήπου καὶ τόδ᾽ εἴρηται πάλαι
μόνην ἐναργῶς τήνδ᾽ ἑκάστῳ δεικνύναι (μ)
τρόπους ἀκεσμῶν ἀσφαλεῖς δι᾽ εὐστόχων
ῥοπῶν ἑαυτῆς καὶ σαφῶν τῶν ἐν νόσοις. ις. 325

ΚΘ· Τῆσδ᾽ οὖν ὑπουργὸν πάντ᾽ ἰατρὸν χρῆν πέλειν (ν),

οἶμαι,

---

(κ) Περὶ διαίτ. Α. ζ. Τροφ. δ. Ἐπιδημ. ς. ε. (λ) Νόμος β. Ἐπισ. πρὸς Δημοκριτ. (μ) περὶ τεχν. κβ. Ἐπιδημ. ς. ε. (ν) περὶ τέχ. κα. Γαλην. περὶ κρίσ. ἡμερ. α. Αἐτ. Α᾽μιδ. ε. α.